# ΑΓΓΑΙΟΣ

1 ΕΝ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ
βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνός,
ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ
προφήτου λέγων· εἰπὸν πρὸς Ζοροβάβελ τὸν
τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς
Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν
λέγων·
2 τάδε λέγει Κύριος παντοκράτωρ λέγων· ὁ
λαὸς οὗτος λέγουσιν· οὐχ ἥκει ὁ καιρὸς τοῦ
οἰκοδομῆσαι τὸν οἶκον Κυρίου.
3 καὶ ἐγένετο λόγος Κυρίου ἐν χειρὶ
Ἀγγαίου τοῦ προφήτου λέγων·
4 εἰ καιρὸς μὲν ὑμῖν ἐστι τοῦ οἰκεῖν ἐν
οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος οὗτος
ἐξηρήμωται;
5 καὶ νῦν τάδε λέγει Κύριος παντοκράτωρ·
τάξατε δὴ καρδίας ὑμῶν εἰς τὰς ὁδούς ὑμῶν.
6 ἐσπείρατε πολλὰ καὶ εἰσηνέγκατε ὀλίγα,
ἐφάγετε καὶ οὐκ εἰς πλησμονήν, ἐπίετε καὶ
οὐκ εἰς μέθην, περιεβάλεσθε καὶ οὐκ
ἐθερμάνθητε ἐν αὐτοῖς, καὶ ὁ τοὺς μισθοὺς
συνάγων συνήγαγεν εἰς δεσμὸν
τετρυπημένον.
7 τάδε λέγει Κύριος παντοκράτωρ· θέσθε
τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν·
8 ἀνάβητε εἰς τὸ ὄρος καὶ κόψατε ξύλα καὶ
οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν

αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε Κύριος.
9 ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένετο ὀλίγα·
καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα
αὐτά. διὰ τοῦτο τάδε λέγει Κύριος
παντοκράτωρ· ἀνθ᾿ ὧν ὁ οἶκός μού ἐστιν
ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν
οἶκον αὐτοῦ,
10 διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου,
καὶ ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς·
11 καὶ ἐπάξω ρομφαίαν ἐπὶ τὴν γῆν καὶ ἐπὶ
τὰ ὄρη καὶ ἐπὶ τὸν σῖτον καὶ ἐπὶ τὸν οἶνον
καὶ ἐπὶ τὸ ἔλαιον καὶ ὅσα ἐκφέρει ἡ γῆ καὶ
ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη καὶ ἐπὶ
πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν.
12 καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ
φυλῆς Ἰούδα καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ
ἱερεὺς ὁ μέγας καὶ πάντες οἱ κατάλοιποι τοῦ
λαοῦ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν καὶ
τῶν λόγων τοῦ Ἀγγαίου τοῦ προφήτου,
καθότι ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς
αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ
προσώπου Κυρίου.
13 καὶ εἶπεν Ἀγγαῖος ἄγγελος Κυρίου ἐν
ἀγγέλοις Κυρίου τῷ λαῷ· ἐγώ εἰμι μεθ᾿ ὑμῶν,
λέγει Κύριος.
14 καὶ ἐξήγειρε Κύριος τὸ πνεῦμα
Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ
τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ
μεγάλου καὶ τὸ πνεῦμα τῶν καταλοίπων
παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον καὶ ἐποίουν
ἔργα ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος Θεοῦ

αὐτῶν
15 τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ
ἕκτου, τῷ δευτέρῳ ἔτει, ἐπὶ Δαρείου τοῦ
βασιλέως.

# 2

1 Τῇ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ καὶ εἰκάδι τοῦ
μηνός, ἐλάλησε Κύριος ἐν χειρὶ Ἀγγαίου τοῦ
προφήτου λέγων·
2 εἰπὸν δὴ πρὸς Ζοροβάβελ τὸν τοῦ
Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ πρὸς Ἰησοῦν
τοῦ Ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν καὶ πρὸς
πάντας τοὺς καταλοίπους τοῦ λαοῦ λέγων·
3 τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν
τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμεῖς
βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα
ἐνώπιον ὑμῶν;
4 καὶ νῦν κατίσχυε, Ζοροβάβελ, λέγει
Κύριος, καὶ κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ ὁ
ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς
τῆς γῆς, λέγει Κύριος, καὶ ποιεῖτε· διότι μεθ᾿
ὑμῶν ἐγώ εἰμι, λέγει Κύριος ὁ παντοκράτωρ,
5 καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ
ὑμῶν· θαρσεῖτε,
6 διότι τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι
ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
τὴν θάλασσαν καὶ τὴν ξηράν·
7 καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ
ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πλήσω τὸν
οἶκον τοῦτον δόξης, λέγει Κύριος
παντοκράτωρ.

8 ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν τὸ χρυσίον,
λέγει Κύριος παντοκράτωρ.
9 διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου
τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει
Κύριος παντοκράτωρ· καὶ ἐν τῷ τόπῳ τούτῳ
δώσω εἰρήνην, λέγει Κύριος παντοκράτωρ,
καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ
κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον.
10 Τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνός,
ἔτους δευτέρου, ἐπὶ Δαρείου, ἐγένετο λόγος
Κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην λέγων·
11 τάδε λέγει Κύριος παντοκράτωρ·
ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον λέγων·
12 ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ
ἄκρῳ τοῦ ἱματίου αὐτοῦ καὶ ἅψηται τὸ ἄκρον
τοῦ ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψήματος ἢ οἴνου
ἢ ἐλαίου ἢ παντὸς βρώματος, εἰ
ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ
εἶπαν· οὔ.
13 καὶ εἶπεν Ἀγγαῖος· ἐὰν ἅψηται
μεμιασμένος ἀκάθαρτος ἐπὶ ψυχῇ ἐπὶ παντὸς
τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν οἱ
ἱερεῖς καὶ εἶπαν· μιανθήσεται.
14 καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ εἶπεν· οὕτως ὁ
λαὸς οὗτος καὶ οὕτως τὸ ἔθνος τοῦτο
ἐνώπιον ἐμοῦ, λέγει Κύριος, καὶ οὕτως πάντα
τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ
ἐκεῖ, μιανθήσεται ἕνεκεν τῶν λημμάτων
αὐτῶν τῶν ὀρθρινῶν, ὀδυνηθήσονται ἀπὸ
προσώπου πόνων αὐτῶν· καὶ ἐμισεῖτε ἐν
πύλαις ἐλέγχοντας

15 καὶ νῦν θέσθε δὴ εἰς τὰς καρδίας ὑμῶν
ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω πρὸ τοῦ
θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ ναῷ Κυρίου,
16 τίνες ἦτε, ὅτε ἐνεβάλλετε εἰς κυψέλην
κριθῆς εἴκοσι σάτα, καὶ ἐγένοντο κριθῆς
δέκα σάτα· καὶ εἰσεπορεύεσθε εἰς τὸ
ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητάς,
καὶ ἐγένοντο εἴκοσι.
17 ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ καὶ ἐν
ἀνεμοφθορίᾳ καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα
τῶν χειρῶν ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός
με, λέγει Κύριος.
18 ὑποτάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς
ἡμέρας ταύτης καὶ ἐπέκεινα· ἀπὸ τῆς
τετράδος καὶ εἰκάδος τοῦ ἐνάτου μηνὸς καὶ
ἀπὸ τῆς ἡμέρας, ἧς τεθεμελίωται ὁ ναὸς
Κυρίου· θέσθε ἐν ταῖς καρδίαις ὑμῶν,
19 εἰ ἔτι ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω καὶ εἰ
ἔτι ἡ ἄμπελος καὶ ἡ συκῆ καὶ ἡ ροὰ καὶ τὰ
ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπόν, ἀπὸ
τῆς ἡμέρας ταύτης εὐλογήσω.
20 Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου
πρὸς Ἀγγαῖον τὸν προφήτην τετράδι καὶ
εἰκάδι τοῦ μηνὸς λέγων·
21 εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ
ἐκ φυλῆς Ἰούδα λέγων· ἐγὼ σείω τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηρὰν
22 καὶ καταστρέψω θρόνους βασιλέων καὶ
ὀλοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν καὶ
καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ
καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν,

ἕκαστος ἐν ρομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ.
23 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος
παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν τοῦ
Σαλαθιήλ, τὸν δοῦλόν μου, λέγει Κύριος, καὶ
θήσομαί σε ὡς σφραγῖδα, διότι σὲ ᾑρέτισα,
λέγει Κύριος παντοκράτωρ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a